ἐπὶ τοσοῦτόν ἐστι φιλία· καὶ γὰρ καὶ τὸ δίκαιον. καὶ ἡ παροιμία, Κοινὰ τὰ φίλων, ὀρθῶς· ἐν κοινωνίᾳ γὰρ ἡ φιλία. ἔστι δὲ, ἀδελφοῖς μὲν καὶ ἑταίροις, πάντα κοινά· τοῖς δὲ ἄλλοις, ἀφωρισμένα· καὶ τοῖς μὲν, πλείω· τοῖς δὲ, ἐλάττω· καὶ γὰρ τῶν φιλιῶν, αἱ μὲν, μᾶλλον· αἱ δὲ, ἧττον. διαφέρει δὲ καὶ τὰ δίκαια· οὐ γὰρ ταὐτὰ γονεῦσι πρὸς τέκνα, καὶ ἀδελφοῖς πρὸς ἀλλήλους, οὐδ' ἑταίροις καὶ πολίταις· ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων φιλιῶν. ἕτερα δὴ καὶ τὰ ἄδικα πρὸς ἑκάστους τούτων, καὶ αὔξησιν λαμβάνει τῷ μᾶλλον πρὸς φίλους εἶναι· οἷον χρήματα ἀποστερῆσαι ἑταῖρον, δεινότερον ἢ πολίτην· καὶ μὴ βοηθῆσαι ἀδελφῷ, ἢ ὀθνείῳ· καὶ πατάξαι πατέρα, ἢ ὁντινοῦν ἄλλον. αὔξεσθαι δὲ πέφυκεν ἅμα τῇ φιλίᾳ καὶ τὸ δίκαιον, ὡς ἐν τοῖς αὐτοῖς ὄντα, καὶ ἐπ' ἴσον διήκοντα. αἱ δὲ κοινωνίαι πᾶσαι μορίοις ἐοίκασι τῆς πολιτικῆς· συμπορεύονται γὰρ ἐπί τινι συμφέροντι, καὶ πορίζόμενοί τι τῶν εἰς τὸν βίον. καὶ ἡ πολιτικὴ δὲ κοινωνία, τοῦ συμφέροντος χάριν δοκεῖ καὶ ἐξ ἀρχῆς συνελθεῖν, καὶ διαμένειν· τούτου γὰρ καὶ οἱ νομοθέται στοχάζονται, καὶ δίκαιον εἶναί φασι τὸ κοινῇ συμφέρον. αἱ μὲν οὖν ἄλλαι κοινωνίαι κατὰ μέρη τοῦ συμφέροντος ἐφίενται· οἷον, πλωτῆρες μὲν, τοῦ κατὰ τὸν πλοῦν, ἢ πρὸς ἐργασίαν χρημάτων, ἤ τι τοιοῦτον· στρατιῶται δὲ, τοῦ κατὰ τὸν πόλεμον, εἴτε χρημάτων, εἴτε νίκης, ἢ πόλεως ὀρεγόμενοι. ὁμοίως δὲ καὶ φυλέται, καὶ δημόται. ἔνιαι δὲ τῶν κοινωνιῶν δι' ἡδονὴν δοκοῦσιν γίγνεσθαι, θιασωτῶν καὶ ἐρανιστῶν· αὗται γὰρ θυσίας ἕνεκα καὶ συνουσίας. πᾶσαι δ' αὗται ὑπὸ τὴν πολιτικὴν ἐοίκασιν εἶναι· οὐ γὰρ τοῦ παρόντος συμφέροντος ἡ πολιτικὴ ἐφίεται, ἀλλ' εἰς ἅπαντα τὸν βίον, θυσίας τε ποιοῦντες, καὶ περὶ ταύτας συνόδους, τιμάς τε ἀπονέμοντες τοῖς θεοῖς, καὶ ἑαυτοῖς ἀναπαύσεις πορίζοντες μεθ' ἡδονῆς· αἱ γὰρ ἀρχαῖαι θυσίαι καὶ σύνοδοι φαίνονται γίνεσθαι μετὰ τὰς τῶν καρπῶν συγκομιδὰς, οἷον ἀπαρχαί· μάλιστα γὰρ ἐν τούτοις ἐσχόλαζον τοῖς καιροῖς. πᾶσαι δὴ φαίνονται αἱ κοινωνίαι, μόρια τῆς πολιτικῆς εἶναι· ἀκολουθήσουσι δὲ αἱ τοιαῦται φιλίαι ταῖς τοιαύταις κοινωνίαις.

Κεφάλαιον ιβ.

Πολιτείας δὲ ἐστιν εἴδη τρία, ἴσαι δὲ καὶ παρεκβάσεις, οἷον φθοραὶ τούτων· εἰσὶ δ',

A eatenus amicitia inter ipſos eſt: nam &
ius,& prouerbium communes res amico-
rum eſſe inquit, rectè ſanè, in commu-
nitate ſiquidem amicitia eſt, fratribus au-
tem & ſodalibus communia omnia ſunt:
reliquis definita, atque aliquibus plura,
quibuſdam pauciora, quippe cùm ami-
citiæ quoque aliæ magis ſint, aliæ mi-
nus. Differunt autem & iura ipſa. non e-
nim eadem ſunt parentibus erga filios, &
B fratribus inter ſe: neque ſodalibus ea-
dem,& ciuibus,ſimili modo etiam in reli-
quis amicitiis. diuerſæ igitur etiam iniu-
riæ ad vnumquemque horum ſunt, in-
crementúmque accipiunt,quo magis erga
amicos fiunt,vt pecuniis ſodalem priuare
grauius eſt, quàm ciuem, & non opem
ferre fratri quàm alieno, patrem item
percutere quàm quemlibet alium.Augeri
etiam ſimul cum amicitia ius ipſum natu-
ra conſueuit: vtpote cum iiſdem conſi-
C ſtũt,& æqualiter pertingãt. At verò ſocie-
tates omnes partibus ciuilis ſimiles ſunt:
nam ob vtile aliquod conueniunt homi-
nes, aliquídque eorum comparantes quæ
ad vitam pertinent: & ciuilis ſocietas v-
tilitatis gratia videtur,& à principio con-
ſtitiſſe, & perſeuerare. id enim & le-
gumlatores coniectant,& ius eſſe inquiũt,
quod communiter conducit. Reliquæ i-
gitur ſocietates particulatim vtilitatẽ ap-
D petunt: exempli cauſa, nauigatores eam
quæ ex nauigatione euenit, vel ad pecu-
niarum comparationem, vel tale aliquid
ſpectantem: commilitones eam quæ ex
bello acquiritur,ſiue pecunias, ſiue victo-
riam, ſiue vrbem appetant, ſimiliter quo-
que tribules,& curiales.Nõnullæ verò ſo-
cietates fieri ob voluptatem vidẽtur, cho-
realium ſcilicet ſodalium, & contributo-
rum:quæ ſacrificij,&conuictus cauſa con-
E ficiuntur. Atque hæ quidem omnes ſub
ciuili conſtitutæ ſunt.non enim præſentẽ
vtilitatem ciuilis appetit, ſed ad omnem
vitam ſpectat.Et qui ſacrificia faciunt,cir-
ca eáque conuentus, honores Diis exhi-
bent: & ſibi ipſis cum voluptate requiem
comparant. priſca enim ſacrificia & con-
uentus videntur poſt fructuum collectio-
nes quaſi primitiæ quædam fieri conſue-
F uiſſe. in his enim maximè temporibus o-
cio vacabant.omnes igitur ſocietates par-
tes eſſe ciuilis videntur, tales autem ami-
citiæ tales ſocietates conſequentur.

CAPVT XII.

Ciuilitatis verò tres ſpecies ſunt, toti-
démq. traſgreſſiones, quaſi corruptio-